Ἡρόδοτος Μούσῃσιν ἐν ἐννέα ἦ ῥα τοσαῦτα
ψεύδε' ἐνιστορέει; Ἡρόδοτον νοέεις;
Οὐ, μὰ τὸν ἀτρεκίῃσιν ἐφήμενον, οὔτε γ' ἐκεῖνος
ψεύδεται, οὔτε τεὸς νοῦς ὑγιὴς τελέθει.
Κρῆτες ἐφημερίοις μετὰ πᾶσι ψεύδεα τεύχειν
οἴδασι; τεθναίην, εἰ νοέεις ἃ λέγεις.
Εἰ δὲ τάδ' οὐ νοέειν μεμάθηκας, δεῦρο διδάσκου
πῶς νοέειν σε δέον, εἴ γ' ἐθέλεις τι λέγειν.

On trouve encore cette épigramme de Margounios Εἴς τινα βίβλον, dans le tome VII des *Deliciæ eruditorum* de Lami, préface, p. xx :

Ἀνδρομέης φύσιος σοφὸν ἔργον χὠπόσα κόσμου
φαινοτάταις αὐγαῖς λάμπεται ἠελίοιο
Ἀνδρέας σελίδεσσι μικραῖς θέτο, δεύτερον ἅπτων
ἥλιον ἐν νοερῷ κόσμῳ ἑῆς σοφίης·
ὄλβιος ὃς μερόπεσσιν εὔδρομον οἶμον ἀέξων
εὐπρόσιτον χορέην θήκατο οὐρανίην.

La suivante se trouve dans la Ἑρμηνεία εἰς τὴν ἱερὰν Ἀποκάλυψιν (Leipzig, 1800, f°), p. 372 (il s'agit de Constantinople, la νέα Ῥώμη) :

Ῥώμην εἰσορόων τὴν ὁπλοτέρην στονόεσσαν,
τούς τε πάρος χρυσοῦς κειρομέναν πλοκάμους·
τὰν πόλιν ἆ ἆ, ἔφην, ἆ τὰν πόλιν, ἥ ποθ' ἑλοῦσα
σκῆπτρα βασιλείης στέμματά τ' εὐσεβίης,
νῦν δ' ὑπ' ἀτασθαλίης στυγερῆς φεῦ! δεινὰ παθοῦσα
κεῖσ' ἀκλεής, κόσμον πάντ' ἀποσεισαμένα,
κοὐδ' ὀλοῆς κακίης ποτὲ λήξεις ἀφραδέουσα,
ἔστ' ἂν δ' ἐγκύρσας πυθμένα εἰς ἀΐδου.

21, 22 et 23) Voir les titres de trois opuscules mentionnés ci-dessus, au bas de la page XLVIII.

Un certain nombre de manuscrits ayant appartenu à Margounios font aujourd'hui partie de la bibliothèque du Saint-Synode de Moscou; on en trouve aussi dans d'autres bibliothèques. Nous mentionnerons seulement les deux suivants :

1° Le *Codex Baroccianus* n° 212 (à la Bodléienne), où se lisent ces deux souscriptions :

*a*) Βασίλειος Σαράντας, υἱὸς Νικολάου ἱερέως, ὁ ἐκ Μονεμβασίας, Μαξίμῳ Μαργουνίῳ χαριζόμενος τάδ' ἔγραψεν.

*b*) Ἐτελειώθη τὸ παρὸν ὑπὸ χειρὸς Μανουήλου τοῦ Μαργουνίου διὰ τάχους, τοῦ αφοβ' ἔτους πέμπτῃ ἐπὶ δέκα ἑκατομβαιῶνος.